# 24 IANUARIE

# PARACLISUL SF.IERARH FILON AL CARPASIEI CIPRULUI

ATENA,2016



www.tezaurliturgic.ro



*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

**Δρος Χαραλάμπους Μ. Μπούσια**
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

**ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ**

# ΦΙΛΗΜΟΝΑ

## ΕΠΙΣΚΟΠΟΝ ΚΑΡΠΑΘΟΥ

## ΤΗΣ ΕΝ ΔΩΔΕΚΑΝΗΣΩ

## ΕΦΟΡΟΥ ΑΙΓΑΙΟΥ ΠΕΛΑΓΟΥΣ

*

*

* * * * *

*

*

Ἀθῆναι 2016



www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΦΙΛΗΜΟΝΑ

## ΕΠΙΣΚΟΠΟΝ ΚΑΡΠΑΘΟΥ

## ΤΗΣ ΕΝ ΔΩΔΕΚΑΝΗΣΩ

## ΕΦΟΡΟΥ ΑΙΓΑΙΟΥ ΠΕΛΑΓΟΥΣ

Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΚΔ΄ Ἰανουαρίου.

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ἱερομύστην θεοφόρον Καρπάθου,
σοφῶς ποιμάναντα αὐτοῦ τὴν ἀγέλην
τὴν ἔλλογον τιμήσωμεν ἐκθύμως πιστοὶ
κράζοντες· Πανόσιε Ἱεράρχα Φιλῆμον,
ἔφορε ἀνύστακτε τοῦ Αἰγαίου πελάγους,
τῶν ἐπιβούλων σύντριψον ἐχθρῶν
ἡμῶν τοῦ ἔθνους τὸ ἄνομον φρύαγμα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Φιλῆμον, Καρπάθου κλέος, εὐλόγει με. Χ.Μ.Μ."**



www.tezaurliturgic.ro

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

**Φ**ιλῆμον, Ἐπίσκοπε ἱερὲ
Καρπάθου, εὐχαῖς σου
καταπάτησον τὴν ὀφρὺν
ἐχθρῶν ἐπιβούλων τοῦ Αἰγαίου,
οὗπερ ὑπάρχεις ἀνύστακτος ἔφορος.

**Ἱ**λέωσαι Κύριον, τὸν Θεόν,
ἡμῖν τοῖς τιμῶσι
σοῦ τὴν μνήμην τὴν ἱεράν,
Φιλῆμον, Ἐπίσκοπε Καρπάθου,
ὁ τῶν Ὁσίων Πατέρων ὁμόσκηνος.

**Λ**αμπρύνεις χορείας Ἱεραρχῶν
καὶ σκέπεις Καρπάθου
τοὺς θεόφρονας οἰκιστάς,
Φιλῆμον, αὐγαῖς τῆς χάριτός σου
καὶ ἀστραπαῖς σῆς θερμῆς ἀντιλήψεως.

**Θεοτοκίον.**

**Ἡ** πάντων ἐν δίναις καταφυγή,
ἁγνὴ Θεοτόκε,
διαφύλαττε ἀσινεῖς
ἡμᾶς τῶν παγίδων τοῦ ἐχθίστου,
ἐκδεχομένους τὴν χάριν σου πάντοτε.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

**Μ**ελῳδίαις εὐτάκτοις
μνήμην τὴν σὴν στέφομεν,
λαμπηδὼν Καρπάθου, Φιλῆμον
πανιερώτατε,
καὶ ἐκ βαθέων ψυχῆς
ἐκδυσωποῦμεν σε· Σπεῦσον
βοηθῆσαι ἅπασι
σὲ μεγαλύνουσι.

**Ὁ**σιώτατε πάτερ,
ἡμῶν ἀχλὺν σκέδασον
τῶν παθῶν εὐχῶν σου, Φιλῆμον,



www.tezaurliturgic.ro

θείων πυρσεύμασι
πρὸς τὸν Υἱὸν τοῦ Θεοῦ,
τὸν Φωτοδότην καὶ Κτίστην,
γένος τὸν φωτίζοντα
ἅπαν τὸ βρότειον.

**Ν**ικητὰς σοὺς ἱκέτας
κατὰ παθῶν, Ὅσιε,
δεῖξον, θεοφόρε Φιλῆμον,
γέρας Καρπάθιον,
τοὺς εὐφημοῦντας πιστῶς
ποιμαντικούς σου καμάτους
καὶ τιμῶντας μνήμην σου
τὴν ἀεισέβαστον.

**Θεοτοκίον.**

**Κ**αταπράϋνον τάχος
ἡμῶν παθῶν ζόφωσιν,
Κεχαριτωμένη Παρθένε,
Θεογεννήτρια,
καὶ ἀπαθείας ὁδοὺς
ἡμῖν ὑπόδειξον, Μῆτερ,
ὕμνοις σε ἀείποτε
τοῖς μακαρίζουσι.

**Δ**ιάσωσον,
Ἱεροφύστα Καρπάθου, σοφὲ Φιλῆμον,
ἐξ ἐχθίστου ἐπιβουλῆς τοὺς σὲ μεγαλύνοντας,
ἀνάγκης παντοίας καὶ δυσθυμίας.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

**Π**οιμάνας σοφῶς ἀγέλην σου τὴν ἔλλογον,
Φιλῆμον σεπτέ, νομὰς πρὸς ἀφθαρτότητος,
χάριν θείαν εἴληφας
δαψιλῶς οὐρανόθεν τὸν Κύριον
ἐκδυσωπεῖν ὑπὲρ τῶν ὑμνητῶν
τῆς μνήμης σου, πάτερ πνευματέμφορε.


www.tezaurliturgic.ro

Ὠδὴ δ΄. **Εἰσακήκοα, Κύριε.**

Ἀσινεῖς τήρει πάντοτε
τῶν βελῶν, Φιλῆμον, τοῦ παναλάστορος
τοὺς προστρέχοντας σῇ χάριτι,
Πρόεδρε Καρπάθου ἱερώτατε.

Ῥῦσαι πάντας στενώσεων,
ἀλγηδόνων, ἄχθους καὶ περιστάσεων
τοὺς πιστῶς σε μεγαλύνοντας,
θαυμαστὲ Φιλῆμον, ὡς ἰσάγγελον.

Ποδηγὲ ἀπλανέστατε
λογικῶν Καρπάθου ἀμνῶν, κατεύθυνον
πρὸς ἐπάλξεις ἁγιότητος
τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Θεοτοκίον.

Ἀειπάρθενε Δέσποινα,
Κεχαριτωμένη Θεογεννήτρια,
ἐπευλόγει καὶ ἁγίαζε
τοὺς τῇ σῇ προνοίᾳ καταφεύγοντας.

Ὠδὴ ε΄. **Φώτισον ἡμᾶς.**

Θοῦ σῶν ὑμνητῶν
φυλακήν, Φιλῆμον, στόματι
πρεσβειῶν σου διαθέρμων τῇ χειρὶ
πρὸς Χριστόν, ᾯ σοῖς ἀγῶσιν εὐηρέστησας.

Ὄλβος ἀρετῆς,
ταπεινώσεως καὶ νήψεως
πολυτίμητε, Φιλῆμον, σαῖς εὐχαῖς
περιτείχισον τοὺς πίστει σοι προστρέχοντας.

Ὕψωσον ἡμᾶς
εἰς ἐπάλξεις ἀγαθότητος
τοὺς καθεύδοντας, Φιλῆμον, ἐν σκιᾷ
ἁμαρτίας, ἀγνωσίας καὶ κακότητος,


www.tezaurliturgic.ro

**Θεοτοκίον.**

**Κ**όπασον ἡμῶν
τῶν παθῶν ταχέως τάραχον
σαῖς πρεσβείαις πρὸς Εἰρήναρχον Θεόν,
γαληνεύοντα, Παρθένε, τοὺς τιμῶντάς σε.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

**Λ**ιμένα σε ἔγνωσαν Καρπάθιοι
θαλαττεύουντες ἐν βίῳ, Φιλῆμον,
ὧν κυβερνήτης σοφὸς Ἐκκλησίας
νηὸς ὑπῆρχες, πανόλβιε Πρόεδρε,
ὁ καὶ ἰθύνων νῦν ἡμᾶς
εἰς γαλήνιον ὅρμον χρηστότητος.

**Ἐ**πάκουσον πάντων δεομένων σου
καὶ παράσχου ῥῶσιν, μάκαρ Φιλῆμον,
ἄμφω καὶ σθένος τοῖς ὁμολογοῦσι
τὴν πρὸς ἡμᾶς σου συμπάθειαν, Ὅσιε,
σκέπην, ταχεῖαν ἀρωγὴν
καὶ ἑτοίμην ἐν δίναις ἀντίληψιν.

**Ὀ**ρθότητος βίου ἀκροθίνιον
καὶ κανὼν ποιμαντικῆς ἐπιστήμης
Καρπάθου ὤφθης Φιλῆμον ἐπόπτα,
καὶ ὁδηγὸς ἀπλανὴς τῆς ἀγέλης σου
πρὸς τὰς σκηνώσεις οὐρανοῦ,
σκεπαστὰ σῶν προσφύγων φιλόστοργε.

**Θεοτοκίον.**

**Σ**τηρίζουσα ἀκλινῶς τοὺς δούλους σου
κλονουμένους καθ’ ἑκάστην μὴ παύσῃ
καὶ βοηθοῦσα ἐν βίου ἀνάγκαις
καὶ πειρασμοῖς τοῖς πιστῶς σοι προστρέχουσι,
Θεογεννῆτορ ἀγαθή,
εὐσεβῶν καταφύγιον, Δέσποινα.



www.tezaurliturgic.ro

Διάσωσον,
Ἱεροφύστα Καρπάθου, σοφὲ Φιλῆμον,
ἐξ ἐχθίστου ἐπιβουλῆς τοὺς σὲ μεγαλύνοντας,
ἀνάγκης παντοίας καὶ δυσθυμίας.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Ἱεροφάντορ Καρπάθου πανόσιε,
σεπτὲ Φιλῆμον, ἀγάπης κειμήλιον
καὶ συμπαθείας πρὸς πάσχοντας σάπφειρε,
ἐχθροὺς Αἰγαίου τῶν νήσων ἀπέλασον
ἰσχύϊ, πάτερ, λιτῶν σου πρὸς Ὕψιστον.

**Προκείμενον. Ἦχος δ΄.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Εὐαγγέλιον· Κατὰ Λουκᾶν (Κεφ. στ΄ 17 - 33 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ....

**Δόξα.** Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεῆμον,...

**Ἰδιόμελον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Πάτερ, θεοπρόβλητε
ἱερομύστα Καρπάθου,
τοῦ πελάγους ἔφορε
τοῦ Αἰγαίου ἄγρυπνε,
καταφύγιον
τῶν ἀμνῶν ποίμνης σου
λογικῆς καὶ σκέπη
τῶν σπευδόντων ἐν στενώσεσι


www.tezaurliturgic.ro

καὶ βίου κλύδωσι
ταῖς θεοπειθέσι πρεσβείαις σου,
Φιλῆμον ἀξιάγαστε,
ῥύου συμφορῶν καὶ κακώσεων
πάντας τοὺς ἐν πίστει
προσφεύγοντας τῇ σῇ ἐπισκοπῇ
καὶ παναλκεῖ προστασίᾳ σου,
Ἱεράρχα Ὅσιε.

Σῶσον, ὁ Θεὸς, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἐλεήμονος Λόγου
τοῦ Θεοῦ τοῦ Ὑψίστου,
Φιλῆμον, ἔσοπτρον
ἀγάπης, συμπαθείας
καὶ ἀρωγῆς ἑτοίμης,
οὐρανόθεν κατάπεμψον
ἡμῖν Αὐτοῦ οἱκτιρμοὺς
καὶ ἔλεος τὸ μέγα.

Ὑπερεύχου, Φιλῆμον,
τοὺς τιμῶντας ἐν ὕμνοις
τὴν πολιτείαν σου
τὴν καθαρὰν καὶ πόνους
ποιμαντικούς σου, πάτερ,
ἐν Καρπάθῳ, θειότατε,
Αἰγαίου νήσων φρουρὲ
καὶ σκεπαστὰ καὶ φύλαξ.

Λυπηρῶν τὴν ὁμίχλην
ἀποδίωξον τάχος
φωτὶ δεήσεων
θερμῶν σου, Ἱεράρχα
Φιλῆμον, πρὸς τὸν Κτίστην,
Ὧ λαμπρῶς εὐηρέστησας
διαγωγῇ σου σεμνῇ,
εὐχῇ καὶ ταπεινώσει.


www.tezaurliturgic.ro

**Θεοτοκίον.**

Ὁδηγοῦσα μὴ παύσῃ
πρὸς σκηνὰς οὐρανίους,
Θεογεννήτρια,
τοὺς πόθῳ σε τιμῶντας
καὶ πίστει ἀνυμνοῦντας
τοὺς καμάτους Φιλήμονος,
δοξάσαντος σὸν Υἱὸν
ἐμπράκτως, Παναγία.

**ᾨδὴ η΄. Τὸν Βασιλέα.**

Γῆθεν, Φιλῆμον,
πρὸς οὐρανοὺς σοὺς ἱκέτας
τάχος ἕλκυσον τοὺς ἀνυμνοῦντας
σὲ ὡς Ἱεράρχην
Καρπάθου θεηγόρον.

Εὐκλείας πόλου
μετέχειν σοὺς ὑμνηπόλους
καταξίωσον πάντας, Φιλῆμον,
μεγαλύνοντάς σε
εὐτάκτως εἰς αἰῶνας.

Ἰδεῖν, Φιλῆμον,
Χριστοῦ προσώπου τὸ κάλλος
καταξίωσον τοὺς ὡς Καρπάθου
Ἱεράρχην θεῖον
σὲ ἀνυμνολογοῦντας.

**Θεοτοκίον.**

Μῆτερ Ἁγία
Θεοῦ τοῦ Λόγου, Παρθένε,
ἐπευλόγει καὶ ῥύου κινδύνων
ζοφερῶν σοὺς δούλους,
πιστῶς σε μελῳδοῦντας.


www.tezaurliturgic.ro

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ἐπάκουσον, Φιλῆμον,
Ἱεράρχα σῶφρον,
τῶν αἰτουμένων σὴν θείαν ἀντίληψιν
καὶ πέμψον πᾶσι σὴν χάριν, Καρπάθου Πρόεδρε.

Χαρᾶς ἡμῶν, Φιλῆμον,
πλῆσον τὰς καρδίας,
δεινῶς στενόντων ἐν βίου ταῖς θλίψεσι,
πανιερώτατε πάτερ, Καρπάθου σέμνωμα.

Μνημόνευε, Φιλῆμον,
τῶν ἐν εὐλαβείᾳ
καὶ κατανύξει ὑμνούντων ἑκάστοτε
ποιμαντορίας σου τρόπους, σεβασμιώτατε.

**Θεοτοκίον.**

Μετὰ τοῦ Ἱεράρχου,
Κεχαριτωμένη
Θεογεννῆτορ, δυσώπει τὸ Τόκον σου
ὑπὲρ ἡμῶν σε τιμώντων, σεπτοῦ Φιλήμονος.

**Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις, τῆς Καρπάθου Ἀρχιερεῦ,
ἀρετῆς πυξίον,
ἐνδιαίτημα προσευχῆς
καὶ κανὼν ἀγάπης
πρὸς τοὺς μακρὰν καὶ πέλας,
Φιλῆμον θεοφόρε,
σεβασμιώτατε.

Χαίροις, φύλαξ ἄγρυπνος καὶ φρουρὸς
νήσων τοῦ Αἰγαίου,
Ἱεράρχα θεοειδὲς
τῆς Καρπάθου, πάτερ
Φιλῆμον, ὁ ἐλαύνων
ἐχθροὺς τῆς χάριτός σου
σθένει, πανόσιε.



www.tezaurliturgic.ro

Ῥῦσαι, Ἱεράρχα, παντοδαπῶν
θλίψεων καὶ νόσων,
ἀλγηδόνων καὶ συμφορῶν
Κάρπαθον, Φιλῆμον,
ἧς θεῖος ποιμενάρχης
καὶ ἀρχιθύτης ὤφθης
θεοφορούμενος.

Χαίροις, ἐπιβούλων ὁ ὀλετὴρ
τῆς ἐλευθερίας
τῆς Καρπάθου, θεοειδὲς
Ἱεράρχα, πάνυ
Φιλῆμον, ὁ ἐκλάμψας
πρὸς τοὺς ἐμπεριστάτους
θείοις πυρσεύμασι.

Χαίροις, ὁ κοσμήσας ποιμαντικῆς
ἀγωγῆς σμαράγδοις
Ἐκκλησίαν τὴν τοῦ Χριστοῦ
ἐν Καρπάθῳ νήσῳ,
Φιλῆμον Ἱεράρχα,
φιλανθρωπίας ἄκρας
λύχνε ἀείφωτε.

Χαίροις, ἡ ἑτοίμη καταφυγὴ
τῶν ἐν τῷ Αἰγαίῳ
αἰτουμένων σὴν ἀρωγὴν
καὶ θερμὰς πρεσβείας
πρὸς Κύριον, Φιλῆμον,
Καρπάθου Ἱεράρχα
πνευματοφόρητε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.


www.tezaurliturgic.ro

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Τ**ὸν ἀμίαντον, πρᾶον, σεμνὸν καὶ ἄκακον
ἀρχιερέα Καρπάθου
μελισταγέσιν ᾠδαῖς
εὐφημήσωμεν λαμπρῶς, σεπτὸν Φιλήμονα,
φίλον ὑπάρχοντα Χριστοῦ
καὶ ἀγέλης λογικῆς
ἀνύστακτον ποιμενάρχην,
αὐτοῦ λιτὰς τὰς ἀόκνους
πρὸς τὸν Θεάνθρωπον αἰτούμενοι.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

**Ῥ**ῦσαι ἀνυποίστων συμφορῶν,
θλίψεων καὶ πάσης ἀνάγκης
τοὺς ἀνυμνοῦντας λαμπρῶς,
Ἱεράρχα Ὅσιε,
Φιλῆμον, μνήμην σου
τὴν σεπτὴν καὶ ἐν ᾄσμασι
τιμῶντας σοὺς πόνους,
οὕσπερ δι' ἐνίσχυσιν
ἔτλης ἐλλόγου σου
ποίμνης ἐν Καρπάθῳ, τρισμάκαρ
ἔφορε Αἰγαίου πελάγους
καὶ ἐχθρῶν ὀλέτα θείας πίστεως.

**Δ**έσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Τ**ὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.


www.tezaurliturgic.ro

**Τρισσεῦ ον Κύριε Ἐλέησον Λιτῆ ς Ἁγίου Ὄρους.**

Ὦ *Φιλῆμον* Πρόεδρε,**τῆς Καρπάθου*
φίλον με* Κτίστου δεῖ ξον γνήσιον.

Δί στιχον.

Φιλῆμον, Καρπάθου Ἱεράρχα, σκέπε
Σοφίαν τιμῶσαν σε ,Χαραλάμπης κράζει.



www.tezaurliturgic.ro